*Ὅθεν καὶ ὡς μήποτε ἡ ἀρχιερατικὴ ὑψηλότης ἐξουδενωθῇ, ἵνα δὲ μᾶλλον ὑπὲρ τὴν ἐπίγειον ἀξίαν τῆς βασιλείας ἡμῶν καὶ τὴν τῆς δόξας ἐξουσιότητα λαμπρυνθῇ, ἰδοὺ τοῦτο μὲν τὸ παλάτιον ἡμῶν ὡς ὑπερέχον καὶ τὴν Ῥωμαϊκὴν πόλιν, τοῦτο δὲ καὶ πάσας τὰς ἐν τῇ Ἰταλίᾳ καὶ τῶν δυτικῶν*[g]) *περιχώρους, τοὺς τόπους καὶ τὰς πόλεις τῷ πολλάκις ῥηθέντι μακαριωτάτῳ ἀρχιερεῖ καὶ πατρὶ ἡμῶν Σιλβέστρῳ τῷ οἰκουμενικῷ πάπᾳ παραδιδόντες καὶ ἀφιέντες, παρ' αὐτοῦ καὶ τῶν διαδόχων αὐτοῦ ἀρχιερέων*[h]) *ἐξουσίᾳ καὶ δόγματι ἀρραγεῖ τῆς βασιλικῆς διατάξεως διὰ τοῦδε τοῦ ἡμετέρου θείου προστάγματος καὶ τῆς πραγματικῆς ἀποκαταστάσεως οἰκονομεῖσθαι διεντελλόμεθα καὶ τῷ δικαίῳ τῆς Ῥωμαϊκῆς ἐκκλησίας διαμένειν παραχωροῦμεν.*

Unde ne unquam pontificalis celsitudo deiciatur, immo ut magis supra terrestrem auctoritatem nostri imperii et potestatem glorie illustretur, ecce hoc quidem palatium nostrum quod preeminet et Romanam urbem, hoc[a]) quidem et omnes que in Italia et occidentalium regiones et loca et ciuitates sepedicto beatissimo pontifici et patri nostro Siluestro ycumenico pape tradentes et dimittentes, ipsi et pontificibus successoribus potestate[b]) et sententia irrefragabili imperialis constitutionis per huiusce[c]) diuini nostri precepti et realis restitutionis disponi precipimus et iuri Romane ecclesie permanere concedimus.

*Ὅθεν συμφέρον διέγνωμεν τὴν βασιλείαν*[i]) *ἡμῶν καὶ τὴν τοῦ κράτους ἐξουσίαν τοῖς ἀνατολικοῖς μέρεσι μεταμεῖψαι τε καὶ μετακομίσαι καὶ ἐν τῇ περιχώρῳ τοῦ Βυζαντίου ἐν ἀγαθῷ τόπῳ πόλιν ἐπὶ τῷ ἡμετέρῳ οἰκοδομῆσαι ὀνόματι κἀκεῖσε τὴν βασιλείαν ἡμῶν ἀποκαταστῆσαι· ἔνθα γὰρ ἡ ἱερατικὴ ἀρχὴ τῆς τῶν Χριστιανῶν λογάδος παρὰ τοῦ οὐρανίου βασιλέως ἀποκατέστη, οὐ δίκαιόν ἐστιν ἐκεῖσε βασιλέα ἐπίγειον ἐξουσίαν ἔχειν.*

Unde et transire et incolere auctoritatem nostre potestatis in partibus orientalibus in regione Bizantii in bono loco et illic nostro nomine ciuitatem construere imperio nostro utile duximus, illicque imperium nostrum constituere: ubi enim sacer principatus et delectus Cristianorum a celesti imperatore constitutus est, non iustum uidetur ibidem imperatorem terrestrem potestatem habere.

g) *hinter δυτικῶν kl. Lücke, welche Gaudenzi mit: χωρῶν ausfüllte* h) *αὐτῷ καὶ τοῖς διαδόχοις ἀρχιερεῦσι* (?) *Φ*
i) *τῇ βασιλείᾳ* (?) *Φ*

a) hanc *P* b) potestatem *P*
c) huiussce *DP.*

Bereitgestellt aus Beständen der MGH-Bibliothek ausschließlich zur nicht kommerziellen wissenschaftlichen Nutzung gem. §53 und §60a–e UrhG